**Ο πιστός φίλος**

Πιστεύω[1] τῷ φίλῳ. Πιστὸν φίλον ἐν κινδύνοις γιγνώσκεις[2]. Ὁ φίλος τὸν φίλον ἐν πόνοις[3] καὶ κινδύνοις οὐ λείπει. Τοῖς τῶν φίλων λόγοις ἀεὶ πιστεύομεν. Εἰ[4] κινδυνεύετε, ὦ φίλοι, τοὺς τῶν ἀνθρώπων τρόπους[5] γιγνώσκετε· οἱ μὲν γὰρ ἄπιστοι φίλοι οὐ μετέχουσι[6] τοῦ κινδύνου, οἱ δὲ πιστοὶ συγκινδυνεύουσι τοῖς φίλοις. Πιστοῖς φίλοις μᾶλλον[7] ἢ χρυσῷ καὶ ἀργύρῳ πιστεύομεν. Οἱ ἀγαθοὶ ἄνθρωποι καὶ ἐν κινδύνοις ἀεὶ ἀγαθὸν ἔχουσι θυμόν[8]· τῷ γὰρ θεῷ πιστεύουσιν. Ὦ φίλε, ὁ θεὸς τοὺς ἀγαθοὺς ἀνθρώπους οὐ λείπει. Πολλοὶ ἄνθρωποι τῷ πλούτῳ μᾶλλον ἢ τῷ θεῷ πιστεύουσι.